Socrates arrives back in Athens after a spell in the army at Potidaea. His friends in Taureas' wrestling school greet him and ask him for news.

ἥκομεν τῇ προτεραίᾳ ἑσπέρας ἐκ Ποτειδαίας ἀπὸ τοῦ στρατοπέδου, οἷον δὲ διὰ χρόνου ἀφιγμένος ἀσμένως ἦα ἐπὶ τὰς συνήθεις διατριβάς.

καὶ δὴ καὶ εἰς τὴν Ταυρέου παλαίστραν τὴν καταντικρὺ τοῦ τῆς Βασίλης ἱεροῦ εἰσῆλθον, καὶ αὐτόθι κατέλαβον πάνυ πολλούς, τοὺς μὲν καὶ ἀγνῶτας ἐμοί, τοὺς δὲ πλείστους γνωρίμους.

καί με ὡς εἶδον εἰσιόντα ἐξ ἀπροσδοκήτου, εὐθὺς πόρρωθεν ἠσπάζοντο ἄλλος ἄλλοθεν· Χαιρεφῶν δέ, ἅτε καὶ μανικὸς ὤν, ἀναπηδήσας ἐκ μέσων ἔθει πρός με, καί μου λαβόμενος τῆς χειρός, "ὦ Σώκρατες", ἦ δ' ὅς, "πῶς ἐσώθης ἐκ τῆς μάχης;" ὀλίγον δὲ πρὶν ἡμᾶς ἀπιέναι μάχη ἐγεγόνει ἐν τῇ Ποτειδαίᾳ, ἣν ἄρτι ἦσαν οἱ τῇδε πεπυσμένοι. καὶ ἐγὼ πρὸς αὐτὸν ἀποκρινόμενος, "οὑτωσί", ἔφην, "ὡς σὺ ὁρᾷς."

"δεῦρο δή", ἔφη, "καθεζόμενος ἡμῖν διήγησαι· οὐ γάρ τί πω πάντα σαφῶς πεπύσμεθα." καὶ ἅμα με καθίζει ἄγων παρὰ Κριτίαν τὸν Καλλαίσχρου.

SAJT adapted Plato Charmides 153a-c (A-level)

Ποτείδαια -ας ἡ: Potidaea (a Corinthian colony in Chalcidice)
οἷον: inasmuch as, since (+ part)
συνήθης -ης: customary, usual
διατριβαί -ῶν αἱ: haunts, places of amusement
καταντικρύ: opposite (+ gen)
Βασίλη, ης ἡ: the Queen (an otherwise unknown deity)
ἀσπάζομαι: I greet